# ΦΙΛΟΘΕΟΥ

# ΠΑΡΕΡΓΑ.

ΝΥ͂Ν

ΠΡΩ͂ΤΟΝ

ΤΥΠΩΘΕΝΤΑ.



ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΙΩΑΝΝΙΝΩΝ
ΚΕΝΤΡΟΝ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ

Ἐν Βιέννῃ τῆς Αὐστρίας.

Παρὰ τῷ Φράντζ Ἀντωνίῳ Σχράιμβλ.

1800.

Ε.Υ.Δ. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2005

# Τοῖς
# ἘΝΤΕΥΞΟΜΈΝΟΙΣ.

Τὰ Πάρεργα Φιλοθέου, ἃ φέρεις μετὰ χεῖρας φιλόμουσε, ἱστορία τίς ἐστι πεπλασμένη μὲν καὶ μυθώδης, οὐκ ἔλασσω δ' ἀληθοῦς, καὶ ὑφεστώσης τὴν ὄνησιν παρεχομένη· ἤθη τε γὰρ καὶ χαρακτῆρας τῶν καθ' ἡμᾶς στρεχόντων ἐθνῶν περιγράφει, καὶ βίβλους καὶ βίους σοφῶν ἀνδρῶν ἀρχαίων τε καὶ νεωτέρων ἀνακρίνει· ἅπτεται δ' ἔσθ' ὅπῃ ἀκροθιγῶς καὶ πραγμάτων πολιτικῶν, ὅσα μάλιστα ἀνήκει εἰς τὸ κρατοῦν ἡμῶν ἔθνος, καὶ ἕτερ' ἄττα εἰς φιλολογίαν τε καὶ διάχυσιν χρήσιμα



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2005

ϗ ἀναγκαῖα ἡμῖν γε τοῖς τὸ βάρβαρον τῆς Εὐρώπης οἰκοῦσι μέρος προΐσχεται· ϗ ἡ μὲν βίβλος, ὡς ἔπος εἰπεῖν, τοιαύτη.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ὁ δέ γε ταύτην ξυγγραψάμενος, αὐτὸς μὲν τὸ αὐτοῦ ὄνομα προτάξαι τοῦ συγγράμματος οὐκ ἠξίωσε· φασὶ δὲ πολλοί, ὧν εἰσιν οἳ ϗ ἀκριβῶς ἐπίσασθαι διατείνονται ὅτι ἐστιν ἄρα ϗ αὕτη πόνημα τοῦ σοφωτάτου Νικολάου Ἀλεξάνδρου Μαυροκορδάτου, τοῦ ϗ τὴν περὶ τῶν καθηκόντων ἀρίστην βίβλον συνταξαμένου. Εἰς δέ γε τούτου βεβαίωσιν ἐπιφέρουσι μὲν πολλὰ ϗ πιθανά, ὃ δέ γε δοκεῖ ἰσχυρότερον, ἐστὶν ὅτι εὕρηται ἐν Βουκουρεστίῳ ἀντίγραφον τῆς βίβλου αὐτῇ χειρὶ τοῦ ἀνδρὸς (ὥς φασιν οἱ ταύτην γινώσκοντες) ἐν πολλοῖς διωρθωμένον τε ϗ ἠλλοιωμένον, ὅπερ ϗ αὐτὸς εἶδον ἐκεῖ ποιούμενος τὰς διατριβάς, ϗ τὴν

Ε.Υ.Δ της Κ.τ. Π
ΙΩΑΝΝΙΝΑ 2005

γραφὴν τῶν ἐν αὐτῷ ἀλλοιώσεων ἑτέρα γραφὴ οὐκ ἔστ' ἁπλῶς λεγομένη, ὁμολογουμένη δὲ εἶναι τἀνδρὸς ἐκείνου παραβαλὼν, ἔδοξα ἰδεῖν ὅτι ἦσαν ἑκάτεραι χειρὸς τῆς αὐτῆς· ἀλλὰ ταῦτα μὲν εἰρήσθω ἐπὶ τοσοῦτον.

Τὸ δὲ Σύγγραμμα διῄρηται μὲν εἰς πλείω τμήματα, ὡς δῆλον ἐκ τῆς ἐπιγραφῆς· ἀλλὰ κακῇ τύχῃ τἀντίγραφα, οἷς ἐγὼ ἐνέτυχον ἐν Βουκουρεσίῳ, τὸ πρῶτον μόνον περιεῖχε τμῆμα, τὸ δὲ λοιπὸν ἢ τὴν ἀρχὴν οὐ συγγέγραπται, ἢ λανθάνει που κείμενον ἐν κιβωτίῳ τινὸς τῶν ἤτοι περὶ ἐλαχίστου τὰ τοιαῦτα ποιουμένων, ἢ αὐτοὺς μὲν ὥσπερ τῶν λοιπῶν πραγμάτων οὕτω δὴ καὶ τῶν βιβλίων τοῖς σπανίοις κοσμεῖσθαι καὶ πλουτεῖν ἀξιούντων, τὸ δὲ κοινὸν, οὐ χάριν τυγχάνουσι καταβάλλοντες τοὺς πόνους οἱ τοιοῦτοι κοινωφελεῖς καὶ ἐξαι-

Ε.Υ.Δ. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2005

σιοι ἄνδρες, σπανίζειν τῶν γε τοιούτων καὶ πένεσθαι.

Τοῦτο δὴ τὸ πρῶτον τμῆμα ἐξ ἀντιγράφου γραφῆς καλῶς ἔχοντος (ἦν γὰρ τοῦτ' ἐκεῖνο, τὸ τῇ χειρὶ τοῦ συγγράψαντος, ὡς φθὰς εἶπον, ἐναβρυνόμενον) μεθ' ὅτι πλείστης ἐπιμελείας τε καὶ ἀκριβείας ἀντιγράψας, προεθυμήθην μὲν καὶ ἄλλοτε τύποις ἐκδοῦναι, ἀλλὰ τοῦτο μὲν ἑτέροις μᾶλλον ἐπείγουσιν ἐνασχολούμενος, τοῦτο δέ πως καὶ ὑπὸ τῆς ἀτελείας τοῦ συγγράμματος ἀναστελλόμενος, τότε μὲν ἀπέστην ταυτησὶ τῆς ὁρμῆς, οὐ διαλιπὼν ἄλλως ἀνιχνεύειν τε καὶ διερευνᾶν εἴπου γένοιτό μοι εὑρεῖν καὶ τὸ λοιπὸν, ἵν' ὁλομελὲς οὕτω φάναι καὶ ὁλόκληρον προκύψειεν εἰς τὸ κοινόν· τέως δὲ τούτου μὲν ἀπεγνωκὼς, ὀῤῥωδήσας δὲ μὴ ἄρα ἐκλείψῃ τῷ χρόνῳ καὶ τόγε νῦν εὑρισκόμενον, καὶ ἀποβῶσιν

Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2005

εἰς οὐδὲν οἱ πόνοι, οὓς ἐν αὐτῷ κατε-
βάλετο, ὅς τίς ποτ' εἴη ὁ δαιμόνιος
ἐκεῖνος ἀνὴρ, ἔγνων ἀγαγεῖν εἰς φῶς
αὐτὸ καὶ οὕτως ἔχον, καὶ κοινότερον διὰ
τοῦ τύπου ποιήσασθαι· ὅπερ καὶ ἀτελῶς
ἔχον, ἐντελῶς καὶ ἀμφιλαφῶς ἀμείψε-
σθαι τὸν κτησάμενον τοῦ ὑπὲρ αὐτοῦ
καταβληθέντος ἀργυρίου ὑπισχνεῖται.

Ἐγὼ μὲν οὖν, φιλόλογοι παῖδες
Ἑλλήνων, τἀλλότρια ταυτὶ ἔκγονα ἐν
πλουσίων μὲν καὶ ἐπιφανῶν θαλαμευό-
μενα, αὐχμῶντα δ' ἄλλως καὶ ῥακίοις
περιεσταλμένα, καὶ μικροῦ δεῖν ἀγνοού-
μενα, οἷα ἐξ οἵων ἔφυσαν, εὑρὼν,
περιεποιησάμην ἐκ τῶν ἐνόντων, καὶ ὡς
οἷόν τε ἦν εὐσταλῶς περιστείλας, ἐκ-
πέμπω, τὸ φυσικὸν αὐτῶν καὶ πάτριον
κάλλος τοῖς φιλοκάλοις ἐπιδειξόμε-
να· ὑμεῖς δὲ ὑποδεξάμενοι ὡς εἰκὸς,
τὸν μὲν φῦντα, τῆς εὐτοκίας διὰ
θαύματος ἄγετε, ἐμοὶ δὲ τῷ καὶ εἰ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2005

σποιήσασθαι καὶ περιθάλψαι σπουδάσαντι, εἴ τι ἀναξίως ἀπέβη τῆς ἐξ ἀρχῆς αὐτῶν εὐγενείας τε καὶ λαμπρότητος, συγγνώμην παράσχετε. ἔρρωσθε.

͵αω'. Τῇ ιϛ'. Ἀπριλίου.
ἐν Ἀμπελακίοις.

Γρηγόριος Ἱεροδ. ὁ
Κωνσταντᾶς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2005

*Extrait d'une Lettre de Monsieur l'Abbé* Bignon, *Bibliothequaire du Roi de France a son Excellence Monsieur le Marquis de* Bonnac *Ambassadeur Extraordinaire de S. M. T. C. à la Cour de Constantinople. A Paris le* 10me. *May.* 1720.

Je suis tres-obligè à vôtre Exellence du Manuscrit intitulé Φιλοθέυ Πάρεργα, qui a accompagné vôtre Lettre, le quel occupe maintenent une place honorable parmi ceux de la Bibliotheque du Roy, à qui j'en ai fait present. C'est une espece de Roman fort instructif, et tres-amusant tout-a-la fois, dont l'Auteur est homme de beaucoup d'esprit, et tres-versé dans la Lecture des bons livres en plusieurs

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ. Π ΙΩΑΝΝΙΝΑ 2005

Langues: Son style est élégant, ses descriptions sont vives; et les portraits des différentes Nations, dont il a pris les personages, qu'il fait parler, sont tres-ressemblans; et approchent beaucoup du Naturel; enfin j'ai crû qu'il meritoit le rang qu'il occupe, etc.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005

Ἀπόσπασμα μιᾶς ἐπιστολῆς τοῦ Ἀββᾶ Βιντὸν βιβλιοθηκαρίου τοῦ Βασιλέως τῆς Γαλλίας, πρὸς τὸν ἐξοχώτατον Μαρκέζον Βοννὰκ, ἔκτακτον πρέσβυν ἐν τῇ αὐλῇ τῆς Κωνσταντινουπόλεως, ἥτις ἐγράφη ἐν Παρισίοις τῷ 1720 Μαΐου. 10.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

Πολλὴν χάριν οἶδά σου τῇ ἐξοχότητι ἕνεκα τοῦ χειρογράφου, τοῦ ἐπιγραφομένου μὲν Φιλοθέου Πάρεργα, κομισθέντος δέ μοι σὺν τῇ ἐπιστολῇ σου, ὅπερ θέσιν ἤδη κατέχει οὐκ ἄδοξον ἐν τῇ βιβλιοθήκῃ τοῦ Βασιλέως ᾧτινι προσήχθη παρ᾽ ἐμοῦ δῶρον. Ἔστι δὲ πλάσμα τι διδακτικώτατόν τε ἅμα καὶ τερπνότατον, οὗπερ ὁ μὲν συγγραφεὺς νοός τέ ἐστιν ὑψηλοῦ, καὶ εἰς ἀνάγνωσιν βιβλίων ἀξιολόγων παντοίων γλωσσῶν κεχυμένος· ἡ δὲ φράσις γλαφυρά, αἵ τε περιγραφαὶ ζωηραί, καὶ αἱ εἰκόνες τῶν διαφόρων

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2005

γενῶν, ὧν ὑποκρίνεται, ἐγγύτατα τἀληθοῦς, καὶ τοῦ κατὰ φύσιν οὐδὲν ἀποδέουσαι· καὶ δ' ἐνὶ λόγῳ χρησάμενος, τὸ πᾶν εἴπω, ἔμοιγε κέκριται ἄξιον, ἧς ἔλαχε τάξεως, κτ.

---

Τῆς Ἱερᾶς Μονῆς τοῦ Ἀδαρμιοῦ.
ἥτινι ἀνετέθη ὑπὸ Γερμανοῦ Ἱε-
ρομονάχου τοῦ ἐκ τῆς αὐτῆς Μονῆς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

ΠΑΝΕΠ[...] ΙΩΑΝΝΙΝΩΝ
ΚΕΝΤΡΟΝ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2005